Worksheet 13. *Isolate the substantives.*

1 ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς / οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ /
καὶ οὐκ ἐγὼ μόνος / ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν / 2 διὰ τὴν ἀλήθειαν τὴν
μένουσαν ἐν ἡμῖν / καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα / 3 ἔσται μεθ᾽ ἡμῶν χάρις ἔλεος εἰρήνη
παρὰ θεοῦ πατρὸς καὶ παρὰ ἰησοῦ χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς ἐν ἀληθείᾳ καὶ ἀγάπῃ /

4 ἐχάρην λίαν / ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου / περιπατοῦντας ἐν ἀληθείᾳ / καθὼς ἐντολὴν
ἐλάβομεν παρὰ τοῦ πατρός / 5 καὶ νῦν ἐρωτῶ σε, κυρία / οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν /
ἀλλ᾽ ἣν εἴχομεν ἀπ᾽ ἀρχῆς / ἵνα ἀγαπῶμεν ἀλλήλους / 6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη / ἵνα περιπατῶμεν
κατὰ τὰς ἐντολὰς αὐτοῦ / αὕτη ἡ ἐντολή ἐστιν / καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς / ἵνα ἐν αὐτῇ
περιπατῆτε /

7 ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον / οἱ μὴ ὁμολογοῦντες ἰησοῦν χριστὸν /
ἐρχόμενον ἐν σαρκί / οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος / 8 βλέπετε ἑαυτούς / ἵνα μὴ
ἀπολέσητε / ἃ εἰργασάμεθα / ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε / 9 πᾶς ὁ προάγων / καὶ μὴ μένων
ἐν τῇ διδαχῇ τοῦ χριστοῦ / θεὸν οὐκ ἔχει / ὁ μένων ἐν τῇ διδαχῇ / οὗτος καὶ τὸν πατέρα
καὶ τὸν υἱὸν ἔχει / 10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς / καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει / μὴ λαμβάνετε
αὐτὸν εἰς οἰκίαν / καὶ χαίρειν αὐτῷ μὴ λέγετε / 11 ὁ λέγων γὰρ αὐτῷ χαίρειν / κοινωνεῖ τοῖς ἔργοις
αὐτοῦ τοῖς πονηροῖς.

12 πολλὰ ἔχων / ὑμῖν γράφειν / οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος / ἀλλ᾽ ἐλπίζω /
γενέσθαι πρὸς ὑμᾶς / καὶ στόμα πρὸς στόμα λαλῆσαι / ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη /
13 ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς /

Copyright © 2020. The Grey Burro, GreyBurro@ScriptureOnline.com. All rights reserved.